# ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ

E 8,1. 1 *Παῦλος δέσμιος Χριστοῦ Ἰησοῦ καὶ Τιμόθεος*
*ὁ ἀδελφὸς Φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ*
Kol 4,17. 2 *ἡμῶν ¹καὶ Ἀπφίᾳ τῇ ἀδελφῇ καὶ Ἀρχίππῳ τῷ συν-*
2 T 2,3. *στρατιώτῃ ἡμῶν καὶ τῇ κατ' οἶκόν σου ἐκκλησίᾳ·*
R 1,7. 3 *χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν*
*καὶ κυρίου Ἰησοῦ Χριστοῦ.*
4 *Εὐχαριστῶ τῷ θεῷ μου πάντοτε μνείαν σου*
5 *ποιούμενος ἐπὶ τῶν προσευχῶν μου, ἀκούων σου*
*τὴν ἀγάπην καὶ τὴν πίστιν ἣν ἔχεις πρὸς τὸν*
Ph 1,9. 6 *κύριον Ἰησοῦν καὶ εἰς πάντας τοὺς ἁγίους, ὅπως*
*ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται ἐν*
*ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν ἡμῖν εἰς Χριστόν·*
2 K 7,4. 7 *χαρὰν γὰρ πολλὴν ἔσχον καὶ παράκλησιν ἐπὶ τῇ*
*ἀγάπῃ σου, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέ-*
8 *παυται διὰ σοῦ, ἀδελφέ. Διό, πολλὴν ἐν Χριστῷ*
9 *παρρησίαν ἔχων ἐπιτάσσειν σοι τὸ ἀνῆκον, διὰ*
*τὴν ἀγάπην μᾶλλον παρακαλῶ, τοιοῦτος ὢν ὡς*
*Παῦλος πρεσβύτης, νυνὶ δὲ καὶ δέσμιος Χριστοῦ*
Kol 4,9. 1 K 4,15. 10 *Ἰησοῦ, — παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου,*
G 4,19. 11 *ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς, Ὀνήσιμον, ¹τόν ποτέ*
12 *σοι ἄχρηστον νυνὶ δὲ σοὶ καὶ ἐμοὶ εὔχρηστον, ὃν*
*ἀνέπεμψά σοι αὐτόν, τοῦτ' ἔστιν τὰ ἐμὰ σπλάγχνα·*
Ph 2,30. 13 *¹ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν, ἵνα*
*ὑπὲρ σοῦ μοι διακονῇ ἐν τοῖς δεσμοῖς τοῦ εὐαγ-*
2 K 9,7. 1 P 5,2. 14 *γελίου, χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα*

---

4 W *παντοτε,* 5 *προς* : ℵ *εις* 6 H [*του*] | *ημιν* : hTW *υμιν* 9 *πρεσβύτης* : h[s] err. prim. pro *πρεσβευτής* | *παρακαλω* : T·W. | h *νυν* | W *Ιησου* : R·TW, 11 *δε* : hTW+ *και* 12 *σοι* : R·TW,

---

Inscriptio: *προς Φιλημονα + και Απφιαν και Αρχιππον (τον διακονον)* 1 *δεσμιος* : *αποστολος vl δουλος* | *αγαπητω* : *αδελφω* 2 *αδελφη* : *αγαπητη* 6 *παντος* : + *εργου* | *Χριστον Ιησουν* 7 *χαριν* | *εχομεν πολλην* · 10 *ον* : + *εγω* | *δεσμοις μου* 11 — *σοι 2°* 12 *ανεπεμψα· συ δε αυτον* | *σπλ.* : + *προσλαβου*

*ποιῆσαι, ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν σου*
*ᾖ ἀλλὰ κατὰ ἑκούσιον. τάχα γὰρ διὰ τοῦτο* 15
*ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς,*
*ˈοὐκέτι ὡς δοῦλον ἀλλὰ ὑπὲρ δοῦλον, ἀδελφὸν* 16 1 T 6,2.
*ἀγαπητόν, μάλιστα ἐμοί, πόσῳ δὲ μᾶλλον σοὶ*
*καὶ ἐν σαρκὶ καὶ ἐν κυρίῳ. εἰ οὖν με ἔχεις κοι-* 17
*νωνόν, προσλαβοῦ αὐτὸν ὡς ἐμέ. εἰ δέ τι ἠδίκησέν* 18
*σε ἢ ὀφείλει, τοῦτο ἐμοὶ ἐλλόγα· ἐγὼ Παῦλος* 19 G 6,11. 2 Th 3,17.
*ἔγραψα τῇ ἐμῇ χειρί, ἐγὼ ἀποτίσω· ἵνα μὴ λέγω*
*σοι ὅτι καὶ σεαυτόν μοι προσοφείλεις. ναί, ἀδελφέ,* 20 7.
*ἐγώ σου ὀναίμην ἐν κυρίῳ· ἀνάπαυσόν μου τὰ*
*σπλάγχνα ἐν Χριστῷ.*

*Πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι, εἰδὼς* 21
*ὅτι καὶ ὑπὲρ ἃ λέγω ποιήσεις. ἅμα δὲ καὶ ἑτοί-* 22 Ph 1,25; 2,24.
*μαζέ μοι ξενίαν· ἐλπίζω γὰρ ὅτι διὰ τῶν προσευ-*
*χῶν ὑμῶν χαρισθήσομαι ὑμῖν.*

*Ἀσπάζεταί σε Ἐπαφρᾶς ὁ συναιχμάλωτός μου* 23 Kol 1,7; 4,12.
*ἐν Χριστῷ Ἰησοῦ, ˈΜᾶρκος, Ἀρίσταρχος, Δημᾶς,* 24 Kol 4,10.14.
*Λουκᾶς, οἱ συνεργοί μου.*

*Ἡ χάρις τοῦ κυρίου Ἰησοῦ Χριστοῦ μετὰ τοῦ* 25
*πνεύματος ὑμῶν.*

---

*16* T *ουκ ετι* *25 κυριου* : + hRW *ημων*

---

*19 λεγω· σοί,* | fin + *εν κυριω* *20 Χριστω* : *κυριω* *21 α* : *ο* *23 ασπαζονται* *25* fin + *αμην*

Subscriptio: *προς Φιλημονα (και Απφιαν δεσποτας Ονησιμου και προς Αρχιππον τον διακονον της εν Κολοσσαις εκκλησιας) εγραφη απο Ρωμης (δια Ονησιμου οικετου).* [*Αλλα δη και μαρτυς Χριστου γεγενηται ο μακαριος Ονησιμος εν τη Ρωμαιων πολει επι Τερτυλλου τηνικαυτα την επαρχικην εξουσιαν διεποντος τη των σκελων κλασει την ψηφον υπομεινας του μαρτυριου.*]

This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/